**ἀποτελεστικός**

Choerob. 222. 12 sqq. ἄξιον δὲ ἡμᾶς πάντα ταῦτα τὰ τοῦ ἔπους ἐπεξεργάσασθαι, παρεπόμενα καὶ ἀχώριστα συμβεβηκότα ὄντα. ἰστέον τοίνυν ὅτι γένους μέν ἐστι δυαδικοῦ τετρασήμου. ἐπειδὴ τεσσάρων ὄντων δισυλλάβων ποδῶν (πυρριχίου, σπονδείου, ἰάμβου καὶ τροχαίου) δύο μόνοι ἐξ αὐτῶν εἰσιν οἱ ἀποτελεστικοὶ μέτρων, ὅ τε ἴαμβος καὶ ὁ τροχαῖος (ὅθεν καὶ ἰαμβικὸν λέγεται μέτρον ἢ τροχαικόν, οὐ μὴν πυρριχιακὸν ἢ σπονδειακόν, εἰ καὶ παραλαμβάνονται ἔστιν ὅτε κατά τινας χώρας τοῦ ἰάμβου καὶ τοῦ τροχαίου)· ἔστιν οὖν ὁ ἴαμβος γένους μὲν δυαδικοῦ τρισήμου οἱονεὶ τριχρόνου· ἐκ βραχείας <γὰρ> καὶ μακρᾶς συγκείμενος τρεῖς ποιεῖ χρόνους. ὁμοίως δὲ καὶ ἐν τοῖς τρισυλλάβοις ὀκτὼ ὄντων τῶν ποδῶν δύο μόνοι εἰσὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος, ὅθεν καὶ περὶ αὐτῶν μόνων διαλαμβάνει ὁ τεχνικός, περί τε δακτυλικοῦ μέτρου κατ᾽ ἰδίαν καὶ περὶ ἀναπαιστικοῦ· ἐπειδὴ οὖν ὁ στίχος ἀπὸ δακτύλου σύγκειται, εἰώθαμεν λέγειν· ‘γένους μέν ἐστι δυαδικοῦ <τετρασήμου>’. δύο γὰρ μόνοι εἰσὶ γενικοὶ καὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος. τετρασήμου δὲ εἴρηται οἱονεὶ τετραχρόνου· ἐκ μακρᾶς γὰρ καὶ δύο βραχειῶν συγκείμενος ὁ δάκτυλος τέσσαρας ἔχει χρόνους.

Choerob. 231. 13 sqq. διαλαβὼν περὶ τῶν δισυλλάβων μέτρων νῦν ἀκολούθως ὁ Ἡφαιστίων (p. 20. 17 sqq.) ἐπὶ τοὺς τρισυλλάβους μετέρχεται, πάλιν δύο μόνους ἀποτελεστικοὺς ὄντας μέτρων, λέγω δὴ τὸν δάκτυλον καὶ τὸν τούτῳ πάλιν ἀντικείμενον ἀνάπαιστον. διὰ τοῦτο γὰρ καὶ προείπομεν (p. 222. 12 sqq.), ὅτι εἰώθαμεν ἐν τοῖς γένεσι τοῦ στίχου λέγειν· ‘γένους μέν ἐστι δυαδικοῦ τετρασήμου’, ἐπειδὴ ὀκτὼ ὄντων τῶν τρισυλλάβων ποδῶν δύο μόνοι εἰσὶν οἱ ἀποτελεστικοὶ μέτρων. [*S.D.B.*]